INDEX SCHOLARVM

QVAE

SVMMIS AVSPICIIS

REGIS AVGVSTISSIMI

G V I L E L M I II

IMPERATORIS GERMANICI

IN VNIVERSITATE FRIDERICIA GVILELMIA RHENANA

PER MENSES AESTIVOS ANNI CIↃIↃCCCLXXXX

A DIE XVI MENSIS APRILIS

PVBLICE PRIVATIMQVE HABEBVNTVR

INEST VITA S. THEODOSII A CYRILLO SCYTHOPOLITANO SCRIPTA

edidit Hermannus Usener

BONNAE

TYPIS CAROLI GEORGI VNIV. TYPOGR.

RECTOR ET SENATVS

VNIVERSITATIS FRIDERICIAE GVILELMIAE RHENANAE

CIVIBVS

S.

Inter eos qui uitis sanctorum scribendis operam dederunt, fide digniorem aut temporis notandi curiosiorem non noui quam Cyrillum Scythopolitanum. hic iam puer anno DXXX extremo s. Sabae commendatus (cf. uita Sabae p. 350[a]) anno DXLIII in deserta Palaestinae secessit Christo militaturus Iohanne Silentiario duce (cf. uita Iohannis 20). quo auctore uitam asceticam in Euthymii coenobio inde a mense iulio proximi anni agere coepit. sed eorum uirorum, quos tamquam exemplaria uitae sanctae suspiciebat, admiratione accensus et quae ipse uiderat et quae a testibus oculatis sciscitatus erat religiosum habuit singula seorsum chartis mandare (cf. uita Euthymii p. 95 sqq.). sic magna illi materies collecta erat, cum a. DLIII iussu Iohannis in s. Sabae lauram nouam transmigraret: quod et ipse testatur in uita Euthymii p. 96 sq. et nobis uidere licet in uita s. Sabae p. 348[b]. sic Georgio Beellae prope Scythopolin abbati instanti ut ederet quae pararet facile Cyrillus cessit. sed dum scribendi inperitus nescit quo modo rerum filum deducat, duo praeterlapsi sunt anni. tunc demum i. e. anno DLV uitas s. Euthymii et Sabae et concinnauit et Georgio illi dedicatas edidit. neque his acquieuit, sed etiam aliorum memoriam ita subiunxit, ut quasi unum corpus esse uellet quaecumque de uiris inter monachos et solitarios deserti Palaestinensis claris commentatus esset. quod consilium num ita expleuerit, ut opus absolutum ipse ederet, nescimus. sed ualde probabile est rem aliter euenisse. ad nos certe uitae illae non nisi singulae ac discerptae exemplis manu scriptis perlatae sunt. e quibus uitam Euthymii Montefalconius edidit in Analectis graecis monachorum Benedictinorum t. I (Par. 1688) p. 1—99, uitam Sabae Cotelerius in Ecclesiae graecae monumentis t. III (Par. 1686) p. 220—376, uitam Iohannis Silentiarii Godofr. Henschenius in Actis sanctorum m. maii t. III append. p. 16—21. quarta his nunc additur uita Theodosii ex codice Laurentiano XI 9 f. 162[r] sq. a Nencinio d. ph. meum in usum humanissime descripta, nuper ab Aug. Hausrathio nostro sollerter relecta. quae cur multo quam ceterae sit breuior, facile intelleget qui meminerit laudationem amplam s. Theodosii quam Theodorus scripserat studiose tunc lectitatam fuisse apud eos maxime quorum utilitati Cyrillus cum scriberet prospiciebat, non nulla etiam in uita Sabae ab eo narrata esse. ceterum quinta s. Theognii uita et fortasse aliae huc usque bybliothecarum tenebris premuntur.

IV

162r Κυρίλλου μοναχοῦ περὶ τοῦ ἐν ἁγίοις ἀββᾶ Θεοδοσίου

Θεοδόσιος ὁ ἀξιομακάριστος καὶ οὐρανοπολίτης, τὸ μέγα κλέος τῆς Παλαιστίνης καὶ τῆς ἐρήμου τὸ καύχημα καὶ τοῦ μοναχικοῦ σχήματος τὸ στήριγμα καὶ τῶν ὀρθῶν δογμάτων ὁ στρατηγὸς καὶ ὑπέρμαχος καὶ τοῦ κοινοβιακοῦ κανόνος ὁ ὁδηγὸς καὶ προστάτης πατρίδος μὲν ὑπῆρχεν τῆς Καππαδοκῶν χώρας ἀπὸ κώμης Γαρισσοῦ καλουμένης, ὑπὸ μὲν τὴν Καισαρέων πόλιν τελού-
162v σης, | οὐ μακρὰν δὲ τῆς Κομανῶν πόλεως τῆς λεγομένης χρυσῆς διακειμένης. ὅθεν καὶ τῆς Κομανῶν αὐτῆς ἁγίας ἐκκλησίας ψάλτης χρησιμώτατος γέγονεν ἐκ παιδὸς καὶ τὸν ἐκκλησιαστικὸν κανόνα ἀκριβῶς ἐξεπαιδεύθη καὶ ἐξέμαθεν τό τε ψαλτήριον καὶ τὰς λοιπὰς θείας γραφάς. ἐντεῦθεν θείᾳ κρατηθεὶς κατανύξει τε καὶ ἐπιθυμίᾳ ἦλθεν εἰς τὰ Ἱεροσόλυμα ἐπὶ τῆς βασιλείας Μαρκιανοῦ τοῦ θεοφιλοῦς, βουλόμενος ἐν τῇ κατ' αὐτὴν ἡσυχάσαι ἐρήμῳ. καὶ δεξιοῦται ἐν τῷ πύργῳ τοῦ Δαυὶδ παρὰ Λογγίνῳ τινὶ γέροντι Καππαδόκῃ τοῦ τάγματος ὄντι τῶν σπουδαίων τῆς ἁγίας Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναστάσεως. τοῦ δὲ Θεοδοσίου βουληθέντος ἔν τινι τῶν κατὰ τὴν ἔρημον μοναστηρίων ἀναχωρῆσαι, ἐραστοῦ αὐτοῦ ὄντος τῆς ἡσυχίας καὶ τὸν τοῦ θεοῦ φόβον ὡσεὶ περιβόλαιον ἠμφιεισμένου, ὁ μακάριος Λογγῖνος οὐ συνεχώρησεν διὰ τὸ σχίσμα τῶν κατὰ τὴν ἔρημον μοναχῶν τῇ καθολικῇ μὴ κοινωνούντων ἐκκλησίᾳ ἀλλὰ τῇ Εὐτυχοῦς καὶ Διοσκόρου ἐπαγομένων φιλονεικίᾳ τε καὶ κακοδοξίᾳ· ἀλλὰ λαβὼν αὐτὸν τῇ ἐν ἁγίοις παρέθετο Ἱκελίᾳ τὴν τοῦ καθίσματος τῆς θεοτόκου ἐκκλησίαν τὸ τηνικαῦτα οἰκοδομούσῃ ὡς δυνάμενον χρησιμεῦσαι αὐτῇ ἔν τε τῷ ἐκκλησιαστικῷ κανόνι καὶ ἐν ταῖς λοιπαῖς διακονίαις.

αὕτη δὲ τότε ἡ μακαρία Ἱκελία πᾶσαν εὐσεβείας ὁδὸν ἐξασκήσασα κατέδειξεν ἐν πρώτοις μετὰ κηρίων γίνεσθαι τὴν ὑπαπάντησιν τοῦ σωτῆρος ἡμῶν θεοῦ. ἥτις τὸν ἱερὸν τοῦτον νεανίαν δεξαμένη Θεοδόσιον καὶ ψάλτην εὐφυέστατον αὐτὸν εὑροῦσα ἐγκαταλέγει τῷ τάγματι τῶν αὐτόθι ὑπ' αὐτὴν σπουδαίων εὐλαβῶν ὄντων. χρόνου δέ τινος διελθόντος καὶ τῆς μακαρίας τελειωθείσης Ἱκελίας ἐγχειρίζεται αὐτὸς τὴν τοῦ τόπου οἰκονομίαν. καὶ ταύτην αὐτοῦ ἀμέμπτως ἐκτελοῦντος συνέβη τελευτῆσαι τὸν τοῦ τόπου ἡγούμενον, καὶ ψηφίζονται συμφώνως ἅπαντες Θεοδόσιον εἰς τὴν τοῦ καθίσματος ἐκκλησίαν ἡγούμενον. αὐτὸς δὲ γνοὺς καὶ τὸν τῆς ἀρχῆς κίνδυνον ὑφορώμενος φυγὰς ᾤχετο. καὶ πρῶτον μὲν ἔρχεται εἰς τοὺς περὶ τὰ Μέτωπα τόπους πρός τε τὸν μακαρίτην Μαρῖνον τὸν ἀναχωρητὴν καὶ πρὸς τὸν ἀββᾶν Λουκᾶν τὸν Μετωπινόν, καὶ τὸν τῆς ἐρήμου κανόνα παρ' αὐτῶν ἐκμανθάνει, οὓς ἐν πρώτοις ὁ ἐν ἁγίοις Εὐθύμιος τὴν μοναχικὴν ἐπαίδευσεν ἀκρίβειαν. τούτοις οὖν ἐπὶ χρόνους τινὰς προσκαρτερήσας ὁ ἀββᾶς Θεοδόσιος ἦλθεν εἰς τὴν κορυφήν, ἐν ᾗ νῦν σὺν θεῷ ἵδρυται ἡ ἁγία αὐτοῦ μονὴ ἀπὸ ἓξ σημείων τῆς ἁγίας πόλεως ἑστηκυῖα, καὶ ἔμεινεν αὐτόθι ἐν σπηλαίῳ, ἐν ᾧ νῦν τὸ τίμιον αὐτοῦ λείψανον κατάκειται, βοτάναις αὐτομάτοις ἀρκούμενος. ἔπειτα δὲ δεξάμενός τινα μαθητὴν τοιαύτην ἐπαίδευσεν σκληραγωγίαν· ὅν ποτε ὁρῶν κύθραν καὶ κουκούμιν περιποιησάμενον ἐδίωξεν εἰπών· εἰ ὅλως ἑψητὸν βούλῃ ἐσθίειν, συμμεῖναί μοι ἀδυνατεῖς σκληροτέραν ἔχοντι διαγωγήν. ὁ δὲ διωχθεὶς τῷ ἐν ἁγίοις προσφεύγει Μαρκιανῷ τῷ ἀνωτέρω μνημονευθέντι περὶ τὴν ἁγίαν κοινο-

5 κανώνοσ 9 apud Strabonem Κόμανα antepaenultima acuta 10 fort. cf. Stephanus Byz. p. 698, 3 ἔστι καὶ ἄλλη Κιλικίας Χρυσόπολις, ὡς ὁ πολυΐστωρ 12 γέγωνεν 13 κανώνα 18 ἡσιχάσαι 19 καππαδόκι 23 ἀναχωρ.σαι 24 ὡσ εἰ 25 ἠμφιεισμένου sic: formam insolitam sed sana ratione declinatam (cf. εἴργασμαι) nolui suspectare λογγίνοσ οὐ συνεχώρισεν διὰ τῶν σχισμάτων τῶν 26 ἔρημων sed o supra scr 29 λαβὸν sed ω supra scr 32 ἐκκλησιαστηκῷ κανώνι

4 ἱερῶν sed o supra scr 11 ψιφίζονται συμφώνοσ 14 ὑφορόμενοσ 16 μετοπὰ μαρίνον τὸν ἀναχωριτὴν 18 μετοπινὸν κανώνα 22 ἐν ᾗ iteratur 24 πόλεοσ ἐστηκυῖα 25 αὐτόθει 29 κουκκούμην ἐδίοξεν 30 ἐψητὸν συνμεῖναί 31 σκληρωτέραν 33 ἀνωτέρω: in uita s. Sabae p. 256c sq. 261b

βιαρχοῦντι Βηθλεέμ. ὁ δὲ μέγας ἐκεῖνος Μαρκιανὸς μεταπεμφθέντι τῷ ἀββᾷ Θεοδοσίῳ ὑπ᾽ αὐτοῦ ἔλεγεν· Σὺ ἀδελφὸν κύθραν περιποιησάμενον ἐδίωξας· "ἰδοῦ, ἡμέραι ἔρχονται, λέγει κύριος", ἐν αἷς ἐπὶ ἀναφορεῦσιν βασταχθήσονται τὰ χαλκία τοῦ μοναστηρίου σου· "οὐ γὰρ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη"· καὶ σὲ τοίνυν τὸν κεκρυμμένον πᾶσιν περιφανῆ ποιήσει ὁ θεὸς ⟨καὶ⟩ κατάδηλον. ἥ τις προφητεία οὐ διήμαρτεν, ὡς πρόδηλον τοῖς πᾶσιν καθέστηκεν. εὐδοκίᾳ γὰρ τοῦ θεοῦ καὶ πατρὸς καὶ συνεργίᾳ τοῦ Χριστοῦ καὶ ἐμπνεύσει τοῦ ἁγίου πνεύματος κοινόβιον μέγα τε
163 r καὶ πολυάνθρωπον αὐτόθι συνεστή σατο πάντων ὑπερέχον καὶ προκαθεζόμενον τῶν ἐν πάσῃ τῇ Παλαιστίνῃ κοινοβίων. ὅτι δὲ εὐδοκίᾳ καὶ συνεργίᾳ τοῦ θεοῦ καὶ οὐκ ἐξ ἀνθρωπίνης σπουδῆς τὸ τοῦ ἀββᾶ Θεοδοσίου συνέστη κοινόβιον, δι᾽ ὀλίγων ἀποδεῖξαι πειράσομαι.

αὐτοῦ γὰρ κεκρυμμένου ἐν τῷ σπηλαίῳ, ὡς εἴρηται, ἐν πολλῇ ἑκουσίῳ πτωχείᾳ καὶ βοτάναις ἀρκουμένου καὶ μόνῃ τῇ προσευχῇ προσκαρτεροῦντος ἀνήρ τις ἀπὸ τοῦ Βυζαντίου ἐλθὼν φιλόχριστος, ἰλλουστρίου μὲν ἀξιώματι τετιμημένος, Ἀκάκιος δὲ προσαγορευόμενος, ἀκούσας περὶ τῆς τούτου ἀρετῆς καὶ τῆς τῶν καλῶν μαργαριτῶν κτήσεως ὑπάρχων ἐπιθυμητὴς κατὰ τὸ εὐαγγέλιον ἦλθεν πρὸς αὐτὸν ἐν τῷ εἰρημένῳ σπηλαίῳ καὶ προσκυνήσας αὐτὸν ἐκάθισεν τῆς αὐτοῦ νουθεσίας καὶ διδασκαλίας ἀκούων. καὶ γνοὺς αὐτὸν μὴ ἀνέχεσθαί τί ποτε λαμβάνειν παρά τινος κόδριν, ρ νομίσματα ἀσυμφώνως καταχωννύει ἐν τῷ σπηλαίῳ, καὶ οὕτως ἀσπασάμενος αὐτὸν ἐξῆλθεν. ὅς τις καὶ ἐν τῷ Βυζαντίῳ ἀπελθὼν ἔμεινεν ἐπὶ χρόνον πολὺν τακτήν τινα εὐλογίαν ἀποστέλλων ἐν χρυσῷ καθ᾽ ἕκαστον ἐνιαυτὸν τῷ μακαρίτῃ Θεοδοσίῳ. καὶ τοῦτο μὲν Ἀκάκιος. ὁ δὲ μέγας Θεοδόσιος μετὰ τὴν τοῦ ἰλλουστρίου ἀναχώρησιν τῇ ἑξῆς ἐν τῷ σπηλαίῳ κεκρυμμένον εὑρὼν τὸ ῥηθὲν χρυσίον κτίζει ἐν πρώτοις ὑπεράνω τοῦ σπηλαίου ξενοδοχεῖον, καὶ ἐδεξιοῦτο πάντα ἐρχόμενον πρὸς αὐτόν· ἀγοράζει δὲ δύο μικρὰ ὀνάρια καὶ δι᾽ ἑαυτοῦ ἀπήρχετο καὶ τὴν σωματικὴν χρείαν ἀπεκόμιζεν. ἐντεῦθεν ἀρχὴν ἐποιεῖτο συνιστᾶν τὸ ἑαυτοῦ κοινόβιον· καὶ ἀπὸ τότε ἤρξαντο πολλοὶ προστρέχειν αὐτῷ παρακαλοῦντες συνοικῆσαι αὐτῷ, καὶ αὐτὸς δεχόμενος αὐτοὺς ὡδήγει πρὸς τὸ θέλημα τοῦ θεοῦ, καὶ συνήργει αὐτῷ εἰς πάντα ὁ θεὸς "καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων", καθάπερ ἐπὶ τοῦ Ἰωσὴφ ἠκούσαμεν.

λέγεται δὲ περὶ αὐτοῦ ὅτι τρία ἐξαίρετα ἐκέκτητο κατορθώματα· ἀκριβεστάτην ἄσκησιν μετὰ πίστε[ως ἀ]ληθοῦς καὶ ὀρθοδόξου ἀπὸ νεότητος [ἕως γήρους αὐτῷ παρ]αμείνασαν, καὶ τὴν πρὸς τοὺς ξένους καὶ πτωχοὺς δαψιλῆ καὶ ἀπροσωπόλ[η]πτον φιλοφροσύνην, καὶ τὸ τρίτον τὸ τῆς θεί[ας] λειτουργίας σύντονον, μικροῦ δεῖν καὶ ἄπαυστον. ἐν τούτοις τοίνυν καὶ τοῖς τοιούτοις ἀνδραγαθήμασί τε καὶ ἀγωνίσμασιν διαπρέπων ὁ μέγας οὗτος Θεοδόσιος, καὶ τοῦ ἐν ἁγίοις ἀββᾶ Μαρκιανοῦ ἐν Χριστῷ κοιμηθέντος πά[ν]τες οἱ τῆς ἐρήμου μοναχοὶ συναθροισθέντες παρὰ τῷ πατριάρχῃ Σαλουστίῳ ἀρρωστ[οῦν]τι καὶ μιᾶς γνώμης γεγονότες κοινῇ ψήφῳ προεβάλοντο τὸν μέγαν τοῦτον Θεοδόσιον ἀρχιμανδρίτην τῶν ὑπὸ τὴν ἁγίαν πόλιν κοινοβίων εἰς τὸν τόπον τοῦ κατὰ τὴν μακαρίαν Μελανὴν Γεροντίου, δευτερεύοντα αὐτοῦ καταστήσαντες τὸν ἐν ἁγίοις Παῦλον τὸν τῆς μονῆς τοῦ ἀββᾶ Μαρτυρίου ἡγούμενον· εἰς τὸν τόπον δὲ τῶν μακαρίων πατέρων Πασσαρίωνος καὶ Ἐλπιδίου κατέστησαν τὸν ἐν ἁγίοις πατέρα ἡμῶν Σάβαν ἀρ-

4 formula hac usus erat Ierem. 7, 32. 31, 31 ep. ad Ebraeos 8, 8 6 eu. Matthaei 5, 14 26 eu. Matthaei 13, 45 sq. b 13 Genesis 39, 2

1 βιθλεὲμ 7 καικρυμμένων sed ο supra ω scr 8 πᾶσην inserui καὶ 11 et 15 συνεργεία 14 ὑπερέχων 15 παλαιστήνη 16 ἀνθρωπήνησ 17 ὀλιγῶν 18 πειράσομεν sed αι supra scr 20 ἑκουσίω πτωχία 22 ἀνὴρ τῆσ sed in marg corr ἀνήρ τισ ἐλθον supra scr ὼ 26 κτίσεων 29 διδασκαλείασ ἀκούον sed ω supra scr 30 κόδριν sic pro κοδρίον *quadrantem* 31 ἀσυμφώνοσ καταχοννύει

11 ὀδήγει 17—21 litteras in cod euanidas suppleui, supplementa cancellis circumscripsi 19 ἀπροσωπόλ . . πτον 20 φιλοφρωσύνην 23 ἀγονίσμασιν 25 sq. ut u. 17 sq. 27 γεγονῶτεσ 31 καταστήσαντοσ

VI

χιμανδρίτην τε καὶ νομοθέτην πάντων τῶν ὑπὸ Παλαιστίνην λαυρῶν τε καὶ ἀναχωρητῶν, καὶ δευτερεύοντα αὐτοῦ τὸν μακαρίτην Εὐγένιον τὸν τῆς λαύρας τοῦ ἐν ἁγίοις ἀββᾶ Γερασίμου ἡγούμενον.

ὁ μὲν οὖν θεοφόρος ἀββᾶς Θεοδόσιος προβαίνων τοῖς κατὰ θεὸν πλεονεκτήμασι μέγας ἐγένετο. περὶ οὗ τί χρὴ πολλὰ λέγειν; ἱκανὴ γάρ ἐστιν τὰς αὐτοῦ ἀρετὰς ἀνακηρύττειν ἥ τε κατὰ θεὸν διαγωγὴ καὶ ἡ πνευματικὴ κατάστασις τῆς αὐτοῦ εὐαγεστάτης καὶ περιφανεστάτης μονῆς· πλὴν ὅτι καὶ ὁ τιμιώτατος Θεόδωρος ὁ ὁσιώτατος τῆς Πετρῶν πόλεως ἐπίσκοπος φοιτητὴς αὐτοῦ γεγονὼς καὶ τοῖς μοναχικοῖς καὶ ἀρχιερατικοῖς κατορθώμασι διαπρέπων σαφῶς καὶ ἀκριβῶς τὰ κατὰ τὸν θεάρεστον αὐτοῦ συνεγράψατο βίον κατὰ πλάτος.

Χρόνους τοίνυν ἑκατὸν πέντε ἐν ταύτῃ ἀγωνισάμενος τῇ ἐρήμῳ καὶ ἀθλήσας καὶ στεφανίτης ἀναδειχθείς, καὶ πολλοὺς καὶ ἀναριθμήτους εὐσεβείας ἀγωνιστὰς καὶ νικηφόρους ἀναδείξας καὶ εἰς βαθὺ γῆρας ἐλάσας ἀρρωστίᾳ σωματικῇ περιέπεσεν καὶ ταύτῃ περὶ χρόνον εὐχαρίστως ἐγκαρτερήσας εἰς χεῖρας θεοῦ τὸ πνεῦμα παρέθετο
163v πρεσβύτης καὶ πλήρης | ἡμερῶν. ἡ δὲ τελείωσις αὐτοῦ γέγονεν κατὰ τὴν ἑνδεκάτην τοῦ ἰανουαρίου μηνὸς τῆς ἑβδόμης ἰνδικτίωνος ἐν εἰκοστῷ δευτέρῳ μηνὶ τῆς βασιλείας τοῦ θεοφυλάκτου βασιλέως ἡμῶν Ἰουστινιανοῦ.

Τὴν μέντοι ἡγεμονίαν τῆς τοῦ ἀββᾶ Θεοδοσίου μονῆς διεδέξατο Σωφρόνιός τις ἐν μοναχικοῖς κατορθώμασιν ἀναφανεὶς ἄριστος. ὅστις Σωφρόνιος τῷ γένει μὲν ὑπῆρχεν Ἀρμένιος ἀπὸ κώμης Ζωμερὶ καλουμένης τῇ μητροπόλει Σεβαστείᾳ προσκειμένης· καταλιπὼν δὲ τὴν πατρίδα ἔτι νέος ὢν ἦλθεν εἰς Ἱεροσόλυμα καὶ πολλοῖς πατράσιν συντυχὼν καὶ τὴν ἑκάστου ἀρετὴν καὶ πολιτείαν καταμαθὼν καὶ τῇ ἑαυτοῦ ψυχῇ ἀναμαξάμενος ἦλθεν καὶ εἰς τὴν τοῦ μακαρίου Θεοδοσίου μονὴν καὶ τὸ μοναχικὸν σχῆμα ἐνδυσάμενος καὶ μοναχικῶς παιδευθεὶς καὶ τὰς μοναχικὰς ἀρετὰς περιβαλόμενος ῥίζαν μὲν καὶ θεμέλιον τῆς ἑαυτοῦ πολιτείας τὴν ταπεινοφροσύνην καὶ τὴν ὑπακοὴν ἐποιήσατο· διὰ πασῶν δὲ τῶν τῆς ἀσκήσεως ἀρετῶν διεξελθὼν καὶ πολλὰς καὶ διαφόρους ἐκτελέσας ἐν τῇ αὐτῇ μονῇ διακονίας καὶ δόκιμος ἀναφανεὶς γίνεται τῆς μονῆς δευτεράριος ἐπὶ χρόνον ἐτῶν ιε· καὶ οὕτως ψήφῳ τοῦ μεγάλου ἀββᾶ Θεοδοσίου τελευτᾶν μέλλοντος τὴν τῆς μονῆς ἡγεμονίαν παρέλαβεν. εἶχεν δὲ οὗτος ὁ μακάριος Σωφρόνιος ἐξάδελφόν τινα Μάμαν ὀνόματι. ὅστις Μάμας ἐν τῇ νεότητι συμπτώματί τινι περιπεσὼν ὑπὸ τῶν ἰατρῶν εὐνουχίσθη καὶ ἀνελθὼν εἰς τὸ Βυζάντιον γίνεται κουβικουλάριος Ἀναστασίου τοῦ βασιλέως καὶ διὰ τοῦ χρόνου προκόψας γίνεται πραιπόσιτος. ὅστις πολλὴν καὶ ἄφατον καρποφορίαν τῷ μοναστηρίῳ προσήνεγκεν. ἐξ ἧς καρποφορίας ὁ ἐν ἁγίοις Σωφρόνιος τετραπλασίως τὴν μονὴν ηὔξησεν καὶ ἐπλάτυνεν μετὰ τὴν τοῦ μακαρίου Θεοδοσίου κοίμησιν. ἀνήγειρεν δὲ ἐκ θεμελίων ἐν αὐτῇ τῇ ἁγίᾳ μονῇ ἐκκλησίαν τῇ παναμνήτῳ θεοτόκῳ καὶ ἀειπαρθένῳ Μαρίᾳ. ἀλλὰ τί τὰ πολλὰ λέγω; διαλάμπουσιν γὰρ οἱ πόνοι Σωφρονίου καὶ τὰ τούτου κατορθώματα ἐν τῇ τοῦ μακαρίου ἀββᾶ Θεοδοσίου μονῇ. οὐ μόνον γὰρ κτίσμασιν καὶ προσόδοις ἐνιαυσίοις ἐπλούτισεν ταύτην, ἀλλὰ καὶ τὴν ἐν αὐτῇ ἐν Χριστῷ συνοδίαν ἐπλήθυνεν τριπλασίως. καὶ ἁπλῶς εἰπεῖν ἐπὶ ιδ χρόνους καὶ δύο μῆνας καλῶς αὐτὴν κυβερνήσας ἐτελεύτησεν ἐν χαρᾷ μηνὶ μαρτίῳ κα τῆς πέμπτης ἰνδικτίωνος. μέλλων δὲ τελευτῆσαι εἶπεν τῷ μαθητῇ αὐτοῦ παρισταμένῳ καὶ κλαίοντι· Μὴ λυποῦ, τέκνον, ὅτι ἐὰν εὕρω παρρησίαν, τῇ ἑβδόμῃ ἡμέρᾳ λαμβάνω σε, ἵνα σὺν ἐμοὶ εἴης εἰς τὸν τῆς ἀναπαύσεως τόπον. ὃ καὶ γέγονεν· τῇ γὰρ ἑβδόμῃ ἡμέρᾳ ἐτελεύτησεν ὁ μαθητής, καὶ ἐγνώσθη τοῖς πᾶσιν ἡ πρὸς τὸν θεὸν Σωφρονίου παρρησία.

10 εὐαγωτάτησ 12 φοιτιτὴσ 16 χρόνων ἀγονισάμενοσ 21 περὶ χρόνον i e unum fere annum 24 ἰαννουαρίου 25 et [b]31 ἰνδικτίωνος] ιν cum δ supra scripta 32 σεβαστία προσκειμένη. καταλειπὼν
1 περιβαλλόμενοσ ῥίζα 16 πρεπόσιτοσ 29 κυβερνίσασ 32 παρισταμένου


UNIVERSITY OF ILLINOIS-URBANA
3 0112 119580618